ὦ Μένων, ἢ ἀρετή τις; ΜΕ. Πῶς τοῦτο λέγεις; ΣΩ. Ὡς περὶ ἄλλου ὁτουοῦν. οἷον, εἰ βούλει, στρογγυλότητος πέρι, εἴποιμ' ἂν ἔγωγε, ὅτι σχῆμά τι ἐστίν· οὐχ οὕτως ἁπλῶς, ὅτι σχῆμα. διὰ ταῦτα δὲ οὕτως ἂν εἴποιμι, ὅτι καὶ ἄλλα ἐστὶ σχήματα. ΜΕ. Ὀρθῶς γε λέγων σύ. ἐπεὶ καὶ ἐγὼ λέγω, οὐ μόνον δικαιοσύνην, ἀλλὰ καὶ ἄλλας εἶναι ἀρετάς. ΣΩ. Τίνας ταύτας εἰπέ· οἷον καὶ ἐγώ σοι εἴποιμι ἂν καὶ ἄλλα σχήματα, εἴγε κελεύοις· καὶ σὺ οὖν ἐμοὶ εἰπὲ ἄλλας ἀρετάς. ΜΕ. Ἡ ἀνδρεία τοίνυν ἔμοιγε δοκεῖ ἀρετὴ εἶναι, καὶ σωφροσύνη, καὶ σοφία, καὶ μεγαλοπρέπεια, καὶ ἄλλαι πάμπολλαι. ΣΩ. Πάλιν, ὦ Μένων, ταυτὸν πεπόνθαμεν. πολλὰς αὖ εὑρήκαμεν ἀρετὰς, μίαν ζητοῦντες, ἄλλον τρόπον ἢ νῦν δή· τὴν δὲ μίαν, ἣ διὰ πάντων τούτων ἐστὶν, οὐ δυνάμεθα ἀνευρεῖν. ΜΕ. Οὐ γὰρ δύναμαί πω, ὦ Σώκρατες, ὡς σὺ ζητεῖς, μίαν ἀρετὴν λαβεῖν κατὰ πάντων, ὥσπερ ἐν τοῖς ἄλλοις. ΣΩ. Εἰκότως γε. ἀλλ' ἐγὼ προθυμήσομαι, ἐὰν οἷός τ' ὦ, ἡμᾶς προσβιβάσαι. μανθάνεις γάρ που, ὅτι οὑτωσὶ ἔχει περὶ πάντος. εἴ τις σε ἀνέροιτο τοῦτο, ὃ νῦν δὴ ἐγὼ ἔλεγον· τί ἐστι σχῆμα, ὦ Μένων; εἰ αὐτῷ εἶπες, ὅτι στρογγυλότης, εἴ σοι εἶπεν, ἅπερ ἐγώ· πότερον σχῆμα ἡ στρογγυλότης ἐστὶν, ἢ σχῆμά τι; εἶπες δή που ἂν, ὅτι σχῆμά τι; ΜΕ. Πάνυ γε. ΣΩ. Οὐκοῦν διὰ ταῦτα, ὅτι καὶ ἄλλα ἐστὶ σχήματα; ΜΕ. Ναί. ΣΩ. Καὶ, εἴγε προσανηρώτα σε ὁποῖα, ἔλεγες ἄν; ΜΕ. Ἔγωγε. ΣΩ. Καὶ αὖ, εἰ περὶ χρώματος ὡσαύτως ἀνήρετο ὅ, τι ἐστί; καὶ εἰπόντος σου, ὅτι τὸ λευκὸν, μετὰ ταῦτα ὑπέλαβεν ὁ ἐρωτῶν. πότερον τὸ λευκὸν, χρῶμά ἐστιν, ἢ χρῶμά τι; εἶπες ἂν, ὅτι χρῶμά τι, διότι καὶ ἄλλα τυγχάνει